*"In a Dionysiac context, costume is never *just* costume."*

ΠΕΝΘΕΥΣ: τί φαίνομαι δῆτ᾽; οὐχὶ τὴν Ἰνοῦς στάσιν
ἢ τὴν Ἀγαυῆς ἑστάναι, μητρός γ᾽ ἐμῆς;
ΔΙΟΝΥΣΟΣ: αὐτὰς ἐκείνας εἰσορᾶν δοκῶ σ᾽ ὁρῶν.
ἀλλ᾽ ἐξ ἕδρας σοι πλόκαμος ἐξέστηχ᾽ ὅδε,
οὐχ ὡς ἐγώ νιν ὑπὸ μίτρᾳ καθήρμοσα.
ΠΕΝΘΕΥΣ: ἔνδον προσείων αὐτὸν ἀνασείων τ᾽ ἐγὼ
καὶ βακχιάζων ἐξ ἕδρας μεθώρμισα.
ΔΙΟΝΥΣΟΣ: ἀλλ᾽ αὐτὸν ἡμεῖς, οἷς σε θεραπεύειν μέλει,
πάλιν καταστελοῦμεν· ἀλλ᾽ ὄρθου κάρα.
ΠΕΝΘΕΥΣ: ἰδού, σὺ κόσμει· σοὶ γὰρ ἀνακείμεσθα δή.

Euripides Bacchae 925-934
1B 5 2022